ἄτας κελαδεῖν ἀχορεύτους.
πρῷραι ναῶν ὠκεῖαι,
Ἴλιον ἱερὸν αἳ κώπαις
δι᾽ ἅλα πορφυροειδέα καὶ λιμένας
Ἑλλάδος εὐόρμους
αὐλῶν παιᾶνι στυγνῷ
συρίγγων τ᾽ εὐφθόγγων φωναῖς
βαίνουσαι πλεκτὰν Αἰγύπτου
παιδείαν ἐξηρτήσασθ᾽,
αἰαῖ, Τροίας ἐν κόλποις
τὰν Μενελάου μετανισσόμεναι
στυγνὰν ἄλοχον, Κάστορι λώβαν
τῷ τ᾽ Εὐρώτᾳ δύσκλειαν,
ἃ σφάζει μὲν
τὸν πεντήκοντ᾽ ἀροτῆρα τέκνων
Πρίαμον, ἐμέ τε μελέαν Ἑκάβαν
εἰς τάνδ᾽ ἐξώκειλ᾽ ἄταν.
ὤμοι θάκους οἵους θάσσω
σκηναῖς ἔφεδρος Ἀγαμεμνονίαις.
δούλα δ᾽ ἄγομαι γραῦς ἐξ οἴκων,
κουρᾷ ξυρήκει πενθήρη
κρᾶτ᾽ ἐκπορθηθεῖσ᾽ οἰκτρῶς.
ἀλλ᾽, ὦ τῶν χαλκεγχέων Τρώων
ἄλοχοι μέλεαι καὶ κόραι δύσνυμφοι,
τύφεται Ἴλιον, αἰάζωμεν·
μάτηρ δ᾽ ὡσεὶ πτανοῖς κλαγγὰν
ὄρνισιν ὅπως ἐξάρξω ᾽γὼ
μολπὰν οὐ τὰν αὐτὰν
οἵαν ποτὲ δὴ
σκήπτρῳ Πριάμου διερειδομένα
ποδὸς ἀρχεχόρου πλαγαῖς Φρυγίαις
εὐκόμποις ἐξῆρχον θεούς.

ΗΜΙΧ. Ἑκάβη, τί θροεῖς; τί δὲ θωΰσσεις; str.

---

123. *ἱεράν AB* 127. *φωνᾷ AB* 138. *οὗς AB* 139. *ἀγαμεμνονείαις* libri. 140. *δούλ᾽ ἄγομαι* BC 141. *πενθήρει* BC *πενθήρη AB* et schol. 145. *αἰάζομεν* fere libri. 151. *παιδός* BC